ματα τῷ τὰς ἀρετὰς ὀρθῶς νομίζεσθαι μετριότητάς
τινας καὶ μεσότητας ὑπερβολῆς καὶ ἐλλείψεως, ἀλλ'
οὐκ ἀκρότητας, ὥς τινες ὑπέλαβον εἶναι, καὶ ἀντικεῖ-
σθαι μὲν κακὸν κακῷ, συναμφότερα δ' ἑνὶ ἀγαθῷ,
ἀγαθὸν δὲ ἀγαθῷ μηκέτι, ἀλλὰ δυσὶν ἅμα κακοῖς,
45 ὥσπερ δειλίαν θρα|σύτητι ὧν κοινὸν ἀνανδρία συναμ-
φότερα δὲ ἀνδρείᾳ, καὶ πανουργίαν ἠλιθιότητι ὧν
κοινὸν ἀφροσύνη συναμφότερα δὲ φρονήσει, καὶ ἀσω-
τίαν φιλαργυρίᾳ ὧν κοινὸν ἀνελευθερία συναμφότερα
δὲ ἐλευθεριότητι, καὶ κατάπληξιν ἀναισχυντίᾳ ὧν κοινὸν
ἀναίδεια συναμφότερα δὲ αἰδοῖ, καὶ ἐπὶ τῶν λοιπῶν
ἀρετῶν τε καὶ ἀστείων ἕξεων τὸ ἀνάλογον τηροῦσιν
ἡμῖν ἀναφανήσεται, καθάπερ καὶ ἐπὶ τῆς τοῦ ἀνίσου
σχέσεως δειχθήσεται μειζονότης ἐλαττονότητι ὧν κοινὸν
ἀνισότης ⟨συναμφότερα δὲ⟩ τῇ ἰσότητι. τοῦ δὴ οὖν
τελείου διὰ τὸ τοιοῦτον ἡ σπανιότης, ὥσπερ ἀγαθοῦ
τινος καὶ οὐχὶ πολύχου ὄντος κακοῦ, ἕνα μὲν ἐν μο-
νάσιν ἡμῖν μόνον, τουτέστιν ἐντὸς δεκάδος, ἕνα δὲ
μόνον ἐν δεκάσι, τουτέστι πρὸ τοῦ εἰς *** ἑκατοντάσιν,
46 καὶ ἕνα μόνον ἐν χιλιάσι παρέξει φυσικῷ νό|μῳ. καὶ
εἰ τύχοι ἐν πρώτῳ βαθμῷ μυριάδων ὁμοίως μόνον
ἕνα, καὶ ἐν δευτέρῳ πάλιν ἕνα, καὶ τὸ τοιοῦτον ἐπ'
ἄπειρον. ὑπόδειγμα δὲ τούτου ὁ ϛ' καὶ ὁ κη' ⟨καὶ ὁ⟩
υϟϛ' καὶ ὁ ͵ηρκη' καὶ οἱ ὅμοιοι παρὰ μέρος εἰς ἑξάδα
καὶ ὀγδοάδα καταλήγοντες. γενέσεως δὲ ἔφοδος καὶ
αὕτη συστατικὴ τῆς φιλαλληλίας τῶν τοῦ ἀριθμοῦ
εἰδῶν καὶ μετὰ συμπνοίας ἀιδιότητος. τοὺς γὰρ ἀπὸ